# TEZAUR LITURGIC

## 9 IUNIE

## MELETIE SIRIGUL

# CANONUL
# SF.IERARH-MUCENIC
# ALEXANDRU,
# EPISCOPUL
# PRUSEI BITINIEI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 09 ΙΟΥΝΙΟΥ
# ΑΛΕΞΑΝΔΡΟΣ
# ΙΕΡΟΜΑΡΤΥΡΕΣ ΠΡΟΥΣΗΣ
# Κανὼν

**Ποίημα Μελέτιος Συρίγος**

οὗ ἡ ἀκροστιχίς:Ἄθλους Ἀλεξάνδροιο εὐφημεῖν θέμις.

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην φαραώ.
Ἄθλους τοὺς θείους καὶ σεπτὰ παλαίσματα, τοῦ Ἀλεξάνδρου Χριστέ, τοῦ ἱερωσύνης, τὴν χάριν λαμπρύναντος, ἐν μαρτυρίου αἵματι, ἀνυμνεῖν προθεμένω, χάριν τὴν σήν μοι κατάπεμψον, τὴν μυσταγωγοῦσαν τὸν ἔπαινον.
Θῦμα εὐῶδες τῷ Θεῷ προσήνεγκας, καθάπερ Ἄβελ ποτέ, ὅλον σου τὸν βίον, ὡς ἀμνὸν πρωτότοκον, καὶ σφάγιον ἀμώμητον, διὰ τοῦτο καὶ θύτης, καὶ Μάρτυς γέγονας Ὅσιε, Ἱερομαρτύρων τὸ καύχημα.
Λύκους ἐλάσας ἐκ τῆς ποίμνης Ὅσιε, οἷα ποιμὴν ἀληθής, νέος Δαβὶδ ὤφθης, σφενδόνῃ τοῦ πνεύματος, καὶ λίθοις τοῦ κηρύγματος, καταβάλλων αἱρέσεις, πρὸς δὲ τυράννους ὡς πρόβατον, πρᾶον παρειστήκεις Ἀλέξανδρε.
Θεοτοκίον.
Ὅλην τὴν φύσιν τὴν ἐμὴν ἀνέλαβεν, ὁ Ὑπερούσιος, ἐκ τῆς Σῆς νηδύος, Θεοτόκε Δέσποινα, σάρκα ἔννουν καὶ

ἔμψυχον, προσλαβὼν οἷς ἡνώθη, ὅλος ἐν ὅλοις μιγνύμενος, δίχα ἤ τροπῆς ἤ συγχύσεως.

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.
Ὕπνον οὐκ ἔδωκας τοῖς σοῖς, Ἀλέξανδρε Ἱεράρχα, ὀφθαλμοῖς ἐπαγρυπνῶν τῇ σῇ ποίμνῃ, καὶ φυλάσσων φυλακάς, τὰς τῆς νυκτὸς ὡς ἔμπειρος, ποιμὴν ὅθεν σὲ δόξα, ἡ τοῦ Θεοῦ περιέλαμψε.
Σώφρονα βίον καὶ σεπτόν, βεβιωκὼς θεηγόρε, ἀνεπίληπτος καὶ κόσμιος ὤφθης, καὶ νηφάλιος ὁμοῦ, φιλόξενος καὶ ἄκακος, διὸ ἱερωσύνης, κατεκοσμήθης χαρίσμασι.
Ἀνδρειοφρόνως τῆς σαρκός, τὸν θῆρα καταπαλαίσας, καὶ κινήσεις ἀκαθέκτους τὰς τούτου, συμποδίσας κατὰ γῆς, ἐπάτησας Ἀλέξανδρε, σοὶ γαρ ἐδόθη χάρις, ἐπάνω ὄφεων ἅλλεσθαι.
Θεοτοκίον.
Λόγῳ τὸν Λόγον τοῦ Πατρός, ἐκύησας Θεομῆτορ, παχυνθέντα ἐξ ἁγνῶν Σου αἱμάτων, καὶ γὰρ ὄντως διὰ Σοῦ, ὁ Λόγος σὰρξ ἐγένετο, ἐπὶ τῆς γῆς τε ὤφθη, καὶ ἐν ἡμῖν κατεσκήνωσε.

Ὠδὴ δ΄.Σύ μοι Χριστὲ Κύριος.
Εὐλογητός, ἔλεγες πρὸς τὸν ποιήσαντα, ὁ Θεός μου, ὁ διδάσκων χεῖράς μου, τὸ πολεμεῖν ἔνατι ἐχθρῶν, καὶ ἐμοὺς δακτύλους, τυραννικὴν πρὸς παράταξιν, μελῶν γὰρ τεμνόμενος, των ἐν σοὶ θεηγόρε, κατεβάλλετο θράσος τοῦ δαίμονος.

Ξένος ἐν γῇ, καὶ παρεπίδημος γέγονας, μήδεν ἔχων, ἴδιον Ἀλέξανδρε, ὡς ὁ Δεσπότης Σου Ἰησοῦς, ὅλως ἐν τῷ κόσμῳ, διὸ ἀπεῖχες ποῤῥώτατα, σαρκὸς ἐπιθυμίας, ὁ Χριστὸς δὲ ἐν πόλῳ, κληρονόμον αὐτοῦ σὲ κατέστησεν.

Ἀνατολῆς, τῆς αἰσθητῆς ἐξορμώμενος, νοητῶς σύ, ἐν τῷ στερεώματι, τῆς Ἐκκλησίας οἷα λαμπρός, ἥλιος ἀνίσχεις, Ἀλέξανδρε τοῖς πυρσεύμασι, τῶν θείων διδαχῶν σου, καὶ ζωῆς τῆς ἐνθέου, δι᾽ ὧν ποίμνην τὴν σὴν κατελάμπρυνας.

Θεοτοκίον.

Νέον ἡμῖν, βρέφος ἀτρέπτως ἐκύησας, Ὃν πρὸ πάντων, αἰώνων ἐγέννησεν, ἐκ τῆς γαστρὸς ἄναρχος Πατήρ, ἀπαθῶς ὡς πρέπει, τῇ ἀπροσίτῳ θεότητι, διὸ Σὲ Θεοτόκον, ἀληθῶς καὶ κυρίως, ἀνυμνοῦντες δοξάζομεν Δέσποινα.

ᾨδὴ ε᾽. τί μὲ ἀπώσω.

Δριμυτάταις αἰκίαις, ὁ κλεινὸς Ἱεράρχης καταικιζόμενος, γλυκυτάτας εὗρεν, ἀπολαύσεις Χριστῷ συναπτόμενος, ὑπὲρ οὗ τὰ πάθη, ἐδέδεκτο μετ᾽ εὐφροσύνης, τοῦτον πάντες πιστοὶ εὐφημήσωμεν.

Ῥάβδου πάλαι τῇ βλάστῃ, Ἀαρὼν ἐκάλεσεν ἡ Θεοῦ πρόνοια, εἰς ἱερωσύνην, σὲ δὲ ὄντα ὡς δένδρον κατάκαρπον, παρὰ διεξόδους, τὰς τῶν Ὑδάτων ἀναθάλλον, ἱερέων ἡγίασε χρίσματι.

Ὁλοψύχῳ καρδίᾳ, καὶ σπουδῇ ἐν συντόνῳ Μάρτυς Ἀλέξανδρε, ἐν τῷ ἀμπελῶνι, τοῦ Χριστοῦ ἀγογγύστως

δεδούλευκας, ἀπὸ πρώτης ὥρας, τῆς ἡλικίας σου θεόφρον, μέχρι τέλους διὸ καὶ δεδόξασαι.
Θεοτοκίον.
Ἰοβόλων θηρίων, τρώγλαις καθιέμενον χεῖρα τὸ νήπιον, τὸ ἐκ Σοῦ Παρθένε, οὐδαμῶς ἐκακώθη ὡς γέγραπται, αλλὰ δῆσαν ταῦτα, τὴν πανοπλίαν τούτων εἶλεν, ὡς Θεὸς Παντοδύναμος Ἄχραντε.

ᾨδὴ στʹ. Ἱλάσθητί μοι Σωτήρ.
Ὀλύμπου ἐκ τῶν πηγῶν, ἡ Προῦσα πάσα ἀρδεύεται, καὶ θάλλει διηνεκῶς, τερπνὸν ὡς Παράδεισος, ἀλλὰ θείοις αἵμασιν, Ἀλεξάνδρου μᾶλλον, πορφυρίζουσα στολίζεται.
Ἐγείρεσθε ἀπὸ γῆς, κἀντεῦθεν ἄγωμεν σήμερον, καὶ αἴγλῃ τῇ νοητῇ, ἐξακολουθήσωμεν, τοῦ Ἱερομάρτυρος, ὡς Ἰσραὴλ πάλαι, τῇ νεφέλῃ καὶ τῷ στύλῳ πυρός.
Ὑπὸ πολλῶν πειρασμῶν, τὸ ποίμνιόν σου κυκλούμενον, προστρέχει σοὶ τῷ καλῷ, ποιμένι δεόμενον, Ἀλέξανδρε πρόφθασον, καὶ σαῖς προστασίαις, τῶν δεινῶν ἡμᾶς ἐξάρπασον.
Θεοτοκίον.
Φθαρέντα με συμβουλῇ, τοῦ ὄφεως καὶ ἐξόριστον, γεγενημένον Ἐδέμ, τῆς θείας ὁ τόκος Σου, Κόρη ἀνεκαίνισε, καὶ θεοποιήσας, εἰς Παράδεισον εἰσήγαγε.

Ὠδὴ ζ΄.Παῖδες Ἑβραίων.
Ἤρθης πρὸς ὕψος θεωρίας, διὰ πράξεως Ἀλέξανδρε θεόφρον, φόβῳ γὰρ τῷ αὐτοῦ, καθήλωσας τὴν σάρκα, τὸν νοῦ δὲ ἀνεπτέρωσας, εἰς θεοπρεπεῖς ἐννοίας.
Μύρω χρισθεὶς ἱερωσύνης, μῦρον ἅγιον ἐδείχθης ἐν τῷ κόσμῳ, εὐωδίας καὶ γάρ, τῶν θείων ἀρετῶν σου, τὴν Ἐκκλησίαν ἔπλησας, εἰς ὀσμὴν ζωῆς παμμάκαρ.
Ἔθετό σε τὸ θεῖον Πνεῦμα, εἰς ἐπίσκοπον τῆς Χριστοῦ Ἐκκλησίας, τοῦ ποιμαίνει αὐτήν, ὀρθῶς διὸ προσεῖχες, σαὐτῷ καὶ τῷ ποιμνίῳ σου, τοὺς βαρεῖς λύκους διώκων.
Θεοτοκίον.
Ἵνα σὲ πάντες ἀνυμνῶμεν, μεγαλεῖά Σοι πεποίηκεν ὁ μόνος, δυνατὸς ὢν Θεός, Παρθένε Θεοτόκε, διὸ εν Σοὶ καὶ γέννησις, καὶ ἁγνεία καθορᾶται.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.
Νύκτα παθῶν μου Ὅσιε, ζοφερὰν διασκέδασον, ὡς παρεστηκὼς ταῖς σελασφόροις λάμψεσι, Θεοῦ Παντοκράτορος, αὐτὴ γὰρ ἐπερήλασε, τὸ τῶν Αἰγυπτίων ψηλαφώμενον σκότος, ἐκκλίνουσα τὸν νοῦν μου, απὸ ὁδῶν Κυρίου, καὶ συνωθοῦσα πάντως, ἐν σκότει ἐξωτέρῳ.
Θρήνους οὐκ ἔχων Κύριε, ἰσοῤῥόπους τοῖς πταίσμασιν, ὅπως ἀποσμήξω τὸην ἰλὺν καὶ βόρβορον, τῶν ἀτόπων ἔργων μου, τὸ αἷμα ὃ ἐξέχεεν, ὁ πανευκλεὴς Ἱερομάρτυς σου Λόγε, Ἀλέξανδρος

προσφέρω, δι᾽ αὐτοῦ ἱκετεύων, ἱλάσθητί μοι Σῶτερ, ἱλάσθητι σῷ δούλῳ.
Ἕως καιρὸς ἐνέστηκε, πανηγύρεως πρόφθασον, ψυχὴ παναθλία ἐμπορίαν ποίησιν, ῥεόντων τὰ μένοντα, ὀλίγων τε τὰ ἄπειρα, ἀνταλλαξαμένη Ἀθλοφόρους ὁρῶσα, δρακὸς αἵματος θείαν, βασιλείαν καὶ δόξαν, πάντως ἀντιλαμβάνοντας, εἰς πάντας τοὺς αἰῶνας.
Τριαδικόν.
Μίαν οὐσίαν σέβοντες, ἐν τρισὶν ὑποστάσεσιν, ἀγαθαρχικὴν παντουργικὴν ὁμότιμον, Πατέρα δοξάζομεν, Υἱόν τε προαιώνιον, καὶ τὸ συνεκλάμπον ὁμοούσιον πνεῦμα, ὡς ἐν φῶς ἐν λαμπάσι, τρισὶν ἀδιαιρέτοις, καὶ μὴ συγχεομέναις, ἤ ἀναλυομέναις.

Ὠδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοή.
Ἴδε, πανήγυρις σεπτή, ἴδε σύναξις φαιδρὰ καὶ σεβάσμιος, ἐν ᾗ συντρέχει ἡμῖν, καὶ πρωτοτόκων, ἡ Ἐκκλησία ἐν γῇ, καὶ γὰρ ὁ πάντων Ποιητής, τὰ κάτω εἰς ἔπαινον, τῆς θείας δόξης Αὐτοῦ, συνηρμόσατο τοῖς ἄνω ἐν Πνεύματι.
Σύντριψον, μύλας τοῦ ἐχθροῦ, καὶ ἀπάλλαξον φαρύγγων τοῦ λέοντος, Χριστὲ σὰ πρόβατα, ἃ ἐπισπεύδει, καταπιεῖν ἀφειδῶς, καὶ γὰρ τὸν πόδα καὶ τὸ οὖς, ἐκτὸς ἔκ τι ἔχοντα, ἐξελθεῖν δύνανται, ἐὰν μόνον τῆς φωνῆς σου ἀκούσωσι.
Οἴμοι, νενέκρωσαι ψυχή, φαρμαχθεῖσα τῷ ἰῷ τω τοῦ ὄφεως, θεῖε Ἀλέξανδρε, πικρίαν ἄλγους μου, καταγλύκανον, χεῖρας ἐπίθες μοι τὴν σήν, ὡς

ἀλεξιτήριον, φάρμακον δέομαι, καὶ ἀπαλλαξον θανάτου τὸν δοῦλόν σου.

Θεοτοκίον.

Πάναγνε, πάντων ἡ ἐλπίς, ἡ γεννήσασα Θεὸν τὸν φιλάγαθον, καὶ πανοικτίρμονα, εμοὶ τῷ πάντας, ὑπερελάσαντι, ταῖς ἁμαρτίαις τοὺς βροτούς, αὐτὸν ἐξιλέωσαι, καὶ τὰ ἐλέη σου, ἐν ἐμοὶ θαυμαστωθῆναι εὐδόκησον.

